## Ἐλαιοῦς (ὁ).

Τότε μὲν ταῦτα, ἔτεσι δὲ κάρτα πολλοῖσι ὕστερον Ηροδ. VI. 140 σελ. 121
τούτων ὡς ἡ Χερσόνησος ἡ ἐν Ἑλλησπόντῳ ἐγένετο
ὑπ' Ἀθηναίοισι, Μιλτιάδης ὁ Κίμωνος ἐτησιέων ἀ-
νέμων κατεστηκότων νηὶ κατανύσας ἐξ Ἐλαιοῦν-
τος τοῦ ἐν Χερσονήσῳ ἐς τὴν Λῆμνον προη-
γόρευε ἐξιέναι ἐκ τῆς νήσου τοῖσι Πελασγοῖσι, ἀναμι-
μνήσκων σφέας τὸ χρηστήριον κτλ.»

Καὶ τοῦτο μὲν ὡς προσπταισάντων τῶν πρώτων στρα- .. VII. 22 σελ. 136
τευομένων περὶ τὸν Ἄθων προετοιμάζετο ἐκ τριῶν
ἐτέων κου (ὁ Ξέρξης) μάλιστα ἐς τὸν Ἄθων· ἐν γὰρ
Ἐλαιοῦντι τῆς Χερσονήσου ὅρμεον τριήρεες, ἐν-
θεῦτεν δὲ ὁρμώμενοι ὤρυσσον ὑπὸ μαστίγων παν-
τοδαποὶ τῆς στρατιῆς κτλ.

Ἐνταῦθα ὑπῆρχε καὶ ὁ τάφος καὶ τὸ ἱερὸν καὶ τέμενος .. .. 33 .. 141
τοῦ Πρωτεσιλάου. περὶ οὗ ὅρα ἐν λ. Πρωτεσιλάου
τάφος ἐν τῇ παρούσῃ συλλογῇ καὶ Ἡροδότ. IX. 116    IX. 116. .. 343.

Παρὰ δὲ Ἑλλήσποντον πρὸς νότον κεῖται ὁ Ἐλαιοῦς,
εἶτα ἀπὸ μὲν τοῦ Σιγείου τεσσαράκοντα ἀπὸ δὲ τοῦ Στα-
δίου τοῦ παρὰ Σηστὸν 170. ἀπὸ δὲ Καρδίας τετρακοσίους
ἀριθμούμενος στάδια. Ταύτην Ἀθηναῖοι μὲν ᾤκισαν
οἰκιστὴς δὲ ἐγένετο Φόρβας. ..

Ἐνθάδε ἔκειτο Πρωτεσιλάου χρήματα πολλά τε καὶ φιάλαι
χρύσεαι καὶ ἀργύρεαι καὶ χαλκὸς καὶ ἐσθὴς καὶ ἄλλα ἀναθή-

-435 μανα, θα Αρβανίτη εσύ μου βασιλεύεις δούλοι ...

ώρα ω η πρωτεύουσας συνάχθαι

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ